θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ'
ἐπιδέτω Διὸς κόρα, [ἀντ. η.
ἔχουσα σέμν' ἑδώλι' ἀσφαλῆ,
παντὶ δὲ σθένει
διωγμοῖς ἀσχαλῶσ'
ἀδμήτας ἀδμήτα
ῥύσιος γενέσθω,

σπέρμα σεμνᾶς μέγα ματρὸς [ἐφυμν. β.
εὐνὰς ἀνδρῶν, ἒ ἕ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

εἰ δὲ μή, μελανθὲς [στρ. θ.
ἡλιόκτυπον γένος
τὸν γάιον,
τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.

ἆ Ζήν, Ἰοῦς· ἰὼ [ἐφυμν. γ.
μῆνις μάστειρ' ἐκ θεῶν·
κοννῶ δ' ἄγαν
γαμετῶν οὐρανονίκων.
χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.

146 ἑδώλι' Tucker : ἐνώπι' codd. ἀσφαλῆ scripsi : ἀσφαλές codd. 147 σθένει Heath : σθένουσι (mutatum ex σθένοσ.) M 148 διωγμοῖς ἀσχαλῶσ' Hermann : διωγμοῖσι δ' ἀσφαλέας M G E 154 δὲ ex schol. Turnebus : δὴ codd. 155 ἡλιόκτυπον Wellauer : ἡδιόκτυπον M G 156 γάιον Wellauer : ταιον codd. 162 ἆ Ζήν, Ἰοῦς ex schol. Hartung, ἰὼ Schwerdt : ἀζηνιουσιω M (idem vario accent. errore codd. cett.) post Ἰοῦς interpunxi 164 κοννῶ δ' ἄγαν Bamberger : κοννωδάταν codd. 165 γαμετῶν Tucker, οὐρανονίκων scripsi : γαμετουρανόνεικον codd.